Η ΕΥΧΗ ΚΑΤΑ ΤΗΣ ΜΑΓΕΙΑΣ



κ΄ Η ΙΕΡΑ ΠΑΡΑΚΛΗΣΙΣ

Τῶν Ἁγίων Κυπριανοῦ καὶ Ἰουστίνης

Ἡ Εὐχὴ
κατὰ τῆς Μαγείας

καὶ

Ἡ Ἱερὰ Παράκλησις
τῶν Ἁγίων
Κυπριανοῦ καὶ Ἰουστίνης

ΕΠΙΜΕΛΕΙΑ
Ἱερᾶς Μονῆς Ἁγίων
Κυπριανοῦ καὶ Ἰουστίνης
Φυλὴ Ἀττικῆς

✠

Ἐμπροσθόφυλλον

Οἱ Ἅγιοι Μάρτυρες Κυπριανὸς καὶ Ἰουστῖνα.

Ἐκ τοῦ Ἁγιογραφείου τῆς Ἱερᾶς Μονῆς μας.

Ὀπισθόφυλλον

Ὁ νέος προσκυνηματικὸς Ναὸς
τῆς Ἱερᾶς Μονῆς μας.

Ἐπιμέλεια: Ἱερὰ Μονὴ Ἁγίων Κυπριανοῦ
καὶ Ἰουστίνης – Φυλὴ Ἀττικῆς.
© : Ἐκδόσεις Γεώργιος Χοροζίδης
Α.Γ. 112 • 133 51 ΦΥΛΗ GREECE
Τηλεαντίγραφα (Telefax): +30 2102411080
E-mail : im@agioskyprianos.org
Ἱστοσελίδα : www.agioskyprianos.org

Ἡ Εὐχὴ
κατὰ τῆς Μαγείας



Πῶς χρησιμοποιεῖται ἡ Εὐχὴ κατὰ τῆς Μαγείας

Προκειμένου *νὰ ἔχη κάθε εὐσεβὴς μίαν ἄμεση βοήθεια στὶς δυσκολίες, τὶς ὁποῖες τυχὸν ἀντιμετωπίζει καὶ ὀφείλονται σὲ δαιμονικὴ ἐπήρεια ἐξ αἰτίας μαγείας, πρέπει νὰ διαθέτη τὰ ἑξῆς ἀπαραίτητα πνευματικὰ ἐφόδια:*

α) *Τὸ βιβλιαράκι τῶν Ἁγίων Προστατῶν μας Κυπριανοῦ καὶ Ἰουστίνης.*

β) *Τὴν ἱερὰ Εἰκόνα τῶν Ἁγίων.*

γ) *Ἱερὸ λαδάκι ἀπὸ τὴν ἀκοίμητη κανδήλα τῶν Ἁγίων μας.*

δ) *Ἁγιασμὸ τῶν Ἁγίων μας.*

Ἡ καθημερινὴ χρῆσις αὐτῶν, μὲ τὴν Χάρι τοῦ Κυρίου μας, θὰ βοηθήση ἀποτελεσματικὰ τὸν πάσχοντα καὶ θὰ τὸν ἀνακουφίση.

Ὅταν παραστῆ ἀνάγκη, ὁ πιστὸς θὰ θυμιάζῃ, θὰ ἀνάβῃ ἕνα ἁγνὸ κεράκι ἐνώπιον τῆς ἱερᾶς Εἰκόνος τῶν Ἁγίων Κυπριανοῦ καὶ Ἰουστίνης, ἐνῶ θὰ πρέπει νὰ καίῃ ἀκοίμητο κανδήλι στὸ Εἰκονοστάσι τοῦ σπιτιοῦ του.

Μετὰ θὰ γονατίζῃ καὶ μὲ ἰδιαίτερη προσοχὴ καὶ εὐλάβεια θὰ διαβάζῃ τὴν Εὐχὴ κατὰ τῆς Μαγείας.

Στὸ τέλος θὰ σταυρωθῇ μὲ τὸ ἱερὸ Λαδάκι τῶν Ἁγίων.

Ἂν εἶναι πρωΐ καὶ ὁ πιστὸς εἶναι νηστικός, καλὸ εἶναι νὰ πιῇ καὶ λίγο ἀπὸ τὸν Ἁγιασμὸ τῶν Ἁγίων, πρᾶγμα ποὺ μπορεῖ νὰ γίνῃ καὶ σὲ ὁποιαδήποτε ἄλλη στιγμὴ τῆς ἡμέρας, ἐφ᾽ ὅσον τὸ ἀπαιτεῖ ἡ ἀνάγκη, ἂν μάλιστα ὑπάρχῃ ἰδιαίτερη δυσκολία ἀπὸ ἐπήρεια σατανική.

* * *

Στὴν *Εὐχὴ κατὰ τῆς Μαγείας εἶναι δυνατὸν νὰ προστεθοῦν καὶ ἄλλες προσευχὲς τῆς Ἐκκλησίας μας, μάλιστα δὲ ἡ περισσότερο σχετικὴ καὶ ἁρμόδια γιὰ τὴν περίπτωσι, ποὺ εἶναι ἡ ἱερὰ Παράκλησις τῶν Ἁγίων Κυπριανοῦ καὶ Ἰουστίνης, ἡ ὁποία ἐπίσης περιέχεται στὸ βιβλιαράκι αὐτό.*

Ὅλα αὐτὰ πρέπει νὰ ἐφαρμόζωνται καθημερινῶς μὲ πίστι, ὑπομονὴ καὶ εὐλάβεια, ἰδίως ὅταν ἔχουμε μία σοβαρὴ περίπτωσι ἐπιμόνου δαιμονικῆς ἐνοχλήσεως.

Μπορεῖ ἐπίσης ὁ πιστὸς νὰ διαβάζῃ τὴν Εὐχὴ κατὰ τῆς Μαγείας χάριν τῶν οἰκείων του, καθὼς καὶ ἄλλων φίλων καὶ γνωστῶν ἢ ἀγνώστων συνανθρώπων του, οἱ ὁποῖοι γιὰ διαφόρους λόγους δὲν θέλουν ἢ δὲν ἔχουν τὴν

δυνατότητα νὰ κάνουν αὐτό, ἂν καὶ τὸ ἔχουν ἀνάγκη.

* * *

Ποτὲ *ὅμως δὲν θὰ πρέπει νὰ λησμονῆται ἀπὸ τὸν πάσχοντα ἢ τὸν ἐνδιαφερόμενο γιὰ τὴν χρῆσι τῆς Εὐχῆς κατὰ τῆς Μαγείας, ὅτι αὐτὴ προξενεῖ ἄμεση ὠφέλεια ὄχι ἁπλῶς καὶ ὡς ἔτυχε, ἐφ᾽ ὅσον ἀπαιτοῦνται προϋποθέσεις.*

Χρειάζεται συνδυασμὸς μὲ τὴν γνήσια Μετάνοια, τὴν τακτικὴ καὶ καθαρὴ Ἐξομολόγησι, τὴν συχνὴ κοινωνία τῶν Ἀχράντων Μυστηρίων, τὴν ταπείνωσι, τὴν ἀγάπη, τὴν ἁγνότητα ψυχῆς καὶ σώματος, τὴν νηστεία, τὴν ἐλεημοσύνη, τὴν ἀδιάλειπτη προσευχή.

Καὶ ὅλα αὐτὰ βεβαίως, πάντοτε μὲ τὴν καθοδήγησι Ὀρθόδοξου πνευ-

ματικοῦ Πατέρα, τὴν μελέτη τῆς Ἁγίας Γραφῆς καὶ τῶν ἄλλων Ἱερῶν Κειμένων τῆς Ἐκκλησίας μας (Βίοι Ἁγίων, Συγγράμματα Πατέρων), διὰ μέσου τῶν ὁποίων διδασκόμεθα πῶς νὰ εὑρισκώμεθα συνεχῶς μέσα στὴν ἀγάπη, τὸ φῶς καὶ τὴν κοινωνία τοῦ Ἁγίου Πνεύματος, ἀσφαλισμένοι ἀπὸ κάθε σκοτεινὴ ἐνέργεια τῶν ἀκαθάρτων πνευμάτων.


Ὁ ἅγιος
Κυπριανός

Ἡ Εὐχὴ κατὰ τῆς Μαγείας

Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν !

Δέσποτα φιλάνθρωπε, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς καὶ Σωτὴρ ἡμῶν, θαῤῥοῦντες εἰς τὴν ἄμετρόν Σου ἀγαθότητα, προσπίπτομέν Σοι ἐν μετανοίᾳ καὶ ἐκ βαθέων δεόμεθά Σου, ὅπως ταῖς πρεσβείαις τῶν Ἁγίων ἐνδόξων Μαρτύρων Σου Κυπριανοῦ καὶ Ἰουστίνης, καταργήσῃς, ἐκριζώσῃς, διαῤῥήξῃς καὶ ὡσεὶ καπνὸν διαλύσῃς καὶ ἀπολέσῃς πάντα σατανικὸν δεσμὸν ἀπὸ παντὸς τόπου τῆς δεσποτείας Σου, ἐλευθερώσῃς δὲ τὸν

δοῦλόν Σου (δεῖνα) ἀπὸ πάσης ὀργῆς καὶ ἀσθενείας, μαγείας καὶ σατανικῆς ἐπηρείας, ἀπὸ παντὸς πάθους καὶ δυσπραγίας, ἀπὸ πάσης φαρμακείας τε καὶ γοητείας, μαντείας καὶ βασκανείας, ἄτινα ἐνήργησάν τινες τῇ συνεργίᾳ τοῦ ἀρχαίου δράκοντος.

Σύ, Πανάγαθε, ὡς Παντογνώστης, οἶδας καὶ τοὺς τρόπους τοῦ τῆς κακίας ἐφευρέτου καὶ τοὺς τόπους, ἐν οἷς ταύτην ἐνήργησε· δι᾽ ὅ, ἱκετεύομέν Σε, ταχὺ ἐπάκουσον ἡμῶν τῶν ἀναξίων τέκνων Σου καὶ δὸς τῷ δούλῳ Σου (δεῖνι) ταχεῖαν τὴν ἀπολύτρωσιν ἀπὸ τοῦ κράτους τοῦ διαβόλου καὶ τῶν ἔργων αὐτοῦ, διὰ τῶν Ἁγίων Σου Μαρτύρων Κυπριανοῦ καὶ Ἰουστίνης.

Ὅτι Σὺ εἶ ὁ ἰατρός, ἡ ἀνόρθωσις καὶ ἡ παρηγορία τῶν ψυχῶν καὶ τῶν

σωμάτων ἡμῶν, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ Σου Πατρὶ καὶ τῷ Παναγίῳ καὶ Ἀγαθῷ καὶ Ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* * *

Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ Αὐτοῦ καὶ φυγέτωσαν ἀπὸ προσώπου Αὐτοῦ οἱ μισοῦντες Αὐτόν.

Συντριβήτωσαν ὑπὸ τὴν σημείωσιν τοῦ τύπου τοῦ τιμίου Σταυροῦ Σου πᾶσαι αἱ ἐναντίαι δυνάμεις.

Ἡ ἀήττητος καὶ ἀκατάλυτος καὶ θεία δύναμις τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἁμαρτωλούς.

Κύριε, ὅπλον κατὰ τοῦ διαβόλου, τὸν Σταυρόν Σου ἡμῖν δέδωκας· φρίττει γὰρ καὶ τρέμει, μὴ φέρων καθορᾶν αὐτοῦ τὴν δύναμιν, ὅτι νεκροὺς ἀνιστᾶ, καὶ θάνατον κατήργησε· διὰ τοῦτο προσκυνοῦμεν, τὴν Ταφήν Σου καὶ τὴν Ἔγερσιν.

Τῷ Σῷ Σταυρῷ Χριστὲ Σωτήρ, ὁδήγησον ἡμᾶς ἐπὶ τὴν ἀλήθειάν Σου, καὶ ῥῦσαι ἡμᾶς τῶν παγίδων τοῦ ἐχθροῦ· ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, ἀνάστησον ἡμᾶς πεσόντας τῇ ἁμαρτίᾳ, ἐκτείνας τὴν χεῖρά Σου, φιλάνθρωπε Κύριε, τῇ πρεσβείᾳ τῶν Ἁγίων Σου.

Σταυρός, ὁ φύλαξ πάσης τῆς οἰκουμένης· Σταυρός, ἡ ὡραιότης τῆς Ἐκκλησίας· Σταυρός, Βασιλέων τὸ κραταίωμα· Σταυρός, πιστῶν τὸ στήριγμα· Σταυρός, Ἀγγέλων ἡ δόξα, καὶ τῶν δαιμόνων τὸ τραῦμα.

Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων καὶ τῆς Θεοτόκου, τὴν Σὴν εἰρήνην δὸς ἡμῖν καὶ ἐλέησον ἡμᾶς ὡς μόνος Οἰκτίρμων.

Τῶν Ἁγίων Κυπριανοῦ καὶ Ἰουστίνης

Ἀπολυτίκιον.

Ἦχος γ΄. Θείας πίστεως.

Θείου Πνεύματος, τῇ χορηγίᾳ, φῶς προσέλαβες, θεογνωσίας, Κυπριανὲ καταισχύνας τὸν δράκοντα· καὶ μαρτυρίου τὸν δρόμον διήνυσας, σὺν Ἰουστίνῃ ὁμοῦ τῇ θεόφρονι· μεθ᾽ ἧς πρέσβευε, Τριάδι τῇ πανοικτίρμονι, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Κοντάκιον.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ ἐκ τῆς πλάνης ὡς ἀστὴρ ἀναλάμψας, καὶ ἀπὸ μάγων ἱερὸς θεοφάντωρ, Κυπριανὸς ὁ μέγας ἀνυμνείσθω μοι·

τούτῳ συντιμάσθω δέ, ἡ σεμνὴ Ἰουστῖνα· ἅμα γὰρ συνήθλησαν, εὐσεβείας τὸ σκάμμα· καὶ νῦν ὁμοῦ πρεσβεύουσι Χριστῷ, ἡμῖν διδόναι, πταισμάτων συγχώρησιν.

Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν !

Ἡ Ἱερὰ Παράκλησις τῶν Ἁγίων Μαρτύρων Κυπριανοῦ καὶ Ἰουστίνης

(ὧν ἡ μνήμη ἐπιτελεῖται τὴν 2αν Ὀκτωβρίου)







Ἡ Ἱερὰ Παράκλησις

Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν!

Ψαλμὸς ρμβ΄ (142)

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ Σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ Σου·

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου Σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν Σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος· καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ

τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις Σου, ἐν ποιήμασι τῶν χειρῶν Σου ἐμελέτων.

Διεπέτασα πρὸς Σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός Σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου·

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν Σου ἀπ᾽ ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός Σου, ὅτι ἐπὶ Σοὶ ἤλπισα·

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς Σὲ ἦρα τὴν ψυχήν μου·

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς Σὲ κατέφυγον· δίδαξόν με

τοῦ ποιεῖν τὸ θέλημά Σου, ὅτι Σὺ εἶ ὁ Θεός μου·

Τὸ πνεῦμά Σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός Σου, Κύριε, ζήσεις με·

Ἐν τῇ δικαιοσύνῃ Σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει Σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου·

Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός Σού εἰμι.

Καὶ ψάλλονται τὰ ἑξῆς·

Ἦχος δ΄.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου (τετράκις).

Καὶ τὰ τροπάρια·

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς Ἱεράρχης καὶ στερῥὸς ἀθλοφόρος, Κυπριανὲ Ἱερομάρτυς Κυρίου, καὶ Ἰουστῖνα Μάρτυς καλλιπάρθενε, πάσης ἡμᾶς ῥύσασθε, συμφορᾶς καὶ ἀνάγκης, καὶ ἐξ ἐπιθέσεων, τοῦ δολίου Βελίαρ, καὶ βοηθεῖτε πᾶσι συμπαθῶς, τοῖς τρυχομένοις, κακίᾳ τοῦ ὄφεως.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ἦχος γ΄. Θείας πίστεως.

Θείου Πνεύματος, τῇ χορηγίᾳ, φῶς προσέλαβες, θεογνωσίας, Κυπριανὲ καταισχύνας τὸν δράκοντα· καὶ μαρτυρίου τὸν δρόμον διήνυσας, σὺν Ἰουστίνῃ ὁμοῦ τῇ θεόφρονι· μεθ᾽ ἧς πρέσβευε, Τριάδι τῇ πανοικτίρμονι, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Οὐ σιωπήσωμέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ· Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

* * *

Ψαλμὸς ν΄ (50).

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου·

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με·

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν Σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις Σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί Σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας Σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν Σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου Σου, καὶ τὸ Πνεῦμά Σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου Σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς Σου, καὶ ἀσεβεῖς ἐπὶ Σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην Σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν Σου·

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ·

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα·

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν Σου μόσχους.

Καὶ ψάλλεται ὁ ἑξῆς Κανών.

Ὠδὴ α΄.

Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Δυὰς τῶν Ἁγίων πανευκλεής, Τριάδα τὴν θείαν δυσωπήσατε ἐκτενῶς, ὦ Κυπριανὲ σὺν Ἰουστίνῃ, ἐκλυτρωθῆναι ἡμᾶς πάσης θλίψεως.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ὑψόθεν βραβεύσατε ἐκ Θεοῦ, τοῖς περισχεθεῖσι, τῇ κακίᾳ τοῦ δυσμενοῦς, ὦ Κυπριανὲ σὺν Ἰουστίνῃ, ἀπαλλαγὴν καὶ ταχεῖαν ἐκλύτρωσιν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ἀθλήσει δοξάσαντες τὸν Χριστόν, παθῶν ἀδοξίας, καὶ κηλίδων τῶν τῆς ψυχῆς, ὦ Κυπριανὲ σὺν Ἰουστίνῃ, τοὺς προσιόντας ὑμῖν ἐκκαθάρατε.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Θεοτοκίον.

Σαρκὸς ὁμοιώματι ὑπὲρ νοῦν, τεκοῦσα Παρθένε, τὸν Σωτῆρα καὶ Ποιητήν, Αὐτὸν ἐκδυσώπει Θεοτόκε, πάντας σωθῆναι τοὺς Σὲ μεγαλύνοντας.

ὨΙδὴ γ΄.
Οὐρανίας ἀψῖδος.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Σωτηρίας λιμένα, τὸν σὸν ναὸν ἔχοντες, πάσης τρικυμίας καὶ ζάλης, βίου ῥυόμεθα, Κυπριανὲ ἱερέ, τούτῳ προστρέχοντες πίστει, καὶ τὴν σὴν ἀντίληψιν, ἐπικαλούμενοι.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ὡς λαβόντες τὴν χάριν, παρὰ Θεοῦ Ἅγιοι, λύειν μηχανὰς τοῦ Βελίαρ, ὑμῶν δεήσεσι, Κυπριανὲ ἱερέ, καὶ Ἰουστῖνα θεόφρον, ἐκ τῆς τούτου ῥύσασθε, ἡμᾶς κακώσεως.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ζηλωτὰς καλῶν ἔργων, βίῳ σεμνῷ δείξατε, τοὺς εἰλικρινῶς προσιόντας, ὑμῶν τῇ χάριτι, Κυπριανὲ ἱερέ, καὶ Ἰουστῖνα θεόφρον, ἱλασμὸν αἰτούμενοι, ἡμῖν καὶ ἔλεος.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Θεοτοκίον.

Ὁ περίδοξος θρόνος, τὸ τοῦ Θεοῦ σκήνωμα, Κεχαριτωμένη Παρθένε, σκεῦός με ἔργασαι, δι᾽ ἐναρέτου ζωῆς, τῆς θεϊκῆς χορηγίας, τὸν θερμῶς προστρέχοντα, ὑπὸ τὴν σκέπην Σου.

Διάσωσον Κυπριανὲ θεοφάντορ σὺν Ἰουστίνῃ, πάσης βλάβης καὶ ἐπηρείας τοῦ ὄφεως, τοὺς καταφεύγοντας πόθῳ ὑμῶν τῇ σκέπῃ.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν!

Κάθισμα.

Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Πρεσβείαις ὑμῶν, ἀπαύστως τειχιζόμενοι, ἐχθροῦ πονηροῦ, τὰς μηχανὰς ἐκτρέπομεν, Κυπριανὲ μακάριε, Ἰουστῖνά τε νύμφη τοῦ Κτίσαντος, καὶ διὰ τοῦτο τὴν χάριν ὑμῶν, εὐσήμῳ ἐν στόματι κηρύττομεν.

Καὶ συνεχίζεται ὁ Κανών.

Ὠδὴ δ΄.

Εἰσακήκοα Κύριε.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἱλασμόν τε καὶ ἴασιν, καὶ μαγγανειῶν παντοίων ἐκλύτρωσιν, ἐξαιτήσασθε μακάριοι, τοῖς ὑπὸ τὴν σκέπην ὑμῶν σπεύδουσι.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Συντριβέντες ταῖς θλίψεσι, καὶ ταῖς ἐπηρείαις τοῦ πολεμήτορος, τῇ πρεσβείᾳ ὑμῶν σπεύδομεν, ὡς ἂν συνοχῆς πικρᾶς ῥυσθείημεν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ἡ Μονὴ ὑμῶν Ἅγιοι, ὤφθη ἰατρεῖον πάσης κακώσεως· τοὺς ἐν ταύτῃ γὰρ προστρέχοντας, συμφορῶν καὶ πόνων ἀπαλλάσσετε.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Θεοτοκίον.

Μαριὰμ Ὑπεράμωμε, τὴν μεμολυσμένην ψυχήν μου πάθεσιν, ἀποκάθαρον Σῇ χάριτι, καὶ φωτὸς τοῦ θείου με ἀξίωσον.

Ὠδὴ ε΄.
Φώτισον ἡμᾶς.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἄνωθεν ἡμᾶς, ἐποπτεύοντες μὴ παύσησθε, Ἰουστῖνα καὶ σοφὲ Κυπριανέ, τοὺς τῇ σκέπῃ ὑμῶν πίστει καταφεύγοντας.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Σύντριψον ὀφρύν, τοῦ δολίου πολεμήτορος, τοῦ ζητοῦντος τὴν ἀπώλειαν ἡμῶν, ᾧ δυὰς κλεινῶν Ἁγίων θεοδόξαστε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ταύτην τὴν Μονήν, ἀεὶ σκέπετε δεόμεθα, Ἰουστῖνα καὶ σοφὲ Κυπριανέ, καυχωμένην τῇ πλουσίᾳ ὑμῶν χάριτι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Θεοτοκίον.

Ὤφθης τοῦ Θεοῦ, ναὸς θεῖος καὶ ὑπέρφωτος, Θεοτόκε σωματώσασα Αὐτόν· διὸ λῦσον τῶν παθῶν μου τὴν σκοτόμαιναν.

Ὠδὴ ς΄.

Τὴν δέησιν ἐκχεῶ.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ναμάτων, τῶν μυστικῶν πεπλησμένοι, ὡς δοξάσαντες Χριστὸν ἐν ἀθλήσει, Κυπριανὲ καὶ σεμνὴ Ἰουστῖνα, τοὺς τῶν παθῶν ἡμῶν ἄνθρακας σβέσατε, καὶ ἀναβλύσατε ἡμῖν, παρακλήσεως ὕδωρ σωτήριον.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἀφράστως, τῷ εὐσεβεῖ ὁραθέντες, ἐκδηλώσατε αὐτῷ παραδόξως, Κυπριανὲ καὶ σεμνὴ Ἰουστῖνα, τὴν εὐδοκίαν Θεοῦ τὴν σωτήριον, περὶ τῆς Μάνδρας τῆς ὑμῶν, ἣν φρουρεῖτε ὑμῶν παρακλήσεσι.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Γαλήνην, καὶ ψυχικὴν σωτηρίαν, καὶ σωμάτων ταχινὴν θεραπείαν, Κυπριανὲ καὶ σεμνὴ Ἰουστῖνα, καὶ μαγειῶν χαλεπῶν ἀπολύτρωσιν, αἰτήσασθε τοῖς εὐλαβῶς, τῇ πρεσβείᾳ ὑμῶν καταφεύγουσι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Θεοτοκίον.

Ἱλύος, φθοροποιῶν παθημάτων, οἰκτιρμῶν Σου Θεοτόκε τοῖς ῥείθροις, τὴν ῥυπωθεῖσάν μου πλῦνον καρδίαν,

καὶ καθαρόν με παράστησον δέομαι, ἐν ὥρᾳ δίκης τῆς φρικτῆς, τοῦ Υἱοῦ Σου τῷ βήματι Ἄχραντε.

Διάσωσον Κυπριανὲ θεοφάντορ σὺν Ἰουστίνῃ, πάσης βλάβης καὶ ἐπηρείας τοῦ ὄφεως, τοὺς καταφεύγοντας πόθῳ ὑμῶν τῇ σκέπῃ.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν!

Κοντάκιον.

Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.

Ὡς βοηθοὶ καὶ θερμοὶ ἀντιλήπτορες, τῶν προσιόντων ὑμῖν μετὰ πίστεως, παθῶν ἀκαθάρτων λυτρώσα-

σθε, Κυπριανὲ Ἰουστῖνά τε ἔνδοξοι, ἡμᾶς τῇ τοῦ Πνεύματος χάριτι.

Διʼ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν!

Τὸ Ἱερὸν Εὐαγγέλιον·

Τῷ καιρῷ ἐκείνῳ, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα Μαθητὰς Αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτά, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. Τούτους ἀπέστειλεν ὁ Ἰησοῦς, παραγγείλας αὐτοῖς, λέγων· εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Πορευόμενοι δὲ κηρύσσετε, λέγοντες, ὅτι ἤγγικεν ἡ βασιλεία τῶν

οὐρανῶν. Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε, δαιμόνια ἐκβάλλετε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε.

Καὶ ψάλλονται τὰ ἑξῆς·
Ἦχος β΄.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ταῖς τῶν Ἀθλοφόρων, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Ὄμβροις θείου Πνεύματος, Κυπριανὲ Ἱεράρχα, Ἰουστῖνα πάνσεμνε, τὰς ψυχὰς δροσίσατε ἡμῶν ἄνωθεν, καὶ παθῶν παύσατε, τὴν ἄσπετον φλόγα, τὴν πικρῶς ἡμᾶς ἐκτήκουσαν, καὶ ἅπαν τέχνασμα, καθ᾽ ἡμῶν δολίως κινούμενον, μαγγανειῶν συντρίψατε, ταῖς ὑμῶν θερμαῖς ἀντιλήψεσιν, εἰρήνην βαθεῖαν, αἰτούμενοι ἡμῖν παρὰ Χριστοῦ, ὡς ἡμῶν πρέσβεις πρὸς Κύριον, καὶ πταισμάτων ἄφεσιν.

Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν!

Καὶ συνεχίζεται ὁ Κανών.

Ὠδὴ ζ΄.

Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ὡς ἐῤῥύσω τὸ πάλαι, τὴν γυναῖκα παμμάκαρ ἐκ πικρᾶς μάστιγος, οὕτως ἐκ πάσης βλάβης, καὶ χαλεπῆς μαγείας, ἀνωτέρους διάσωζε, Κυπριανὲ ἱερέ, τοὺς σὲ ὑμνολογοῦντας.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Νοσημάτων παντοίων, καὶ κινδύνων ἐν βίῳ καὶ περιστάσεων, σκανδάλων ὀλεθρίων, μαγγανειῶν καὶ πόνων, ἀσινεῖς διασώσατε, Κυπριανὲ ἱερέ, ἡμᾶς σὺν Ἰουστίνῃ.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Γεωργεῖν θεῖον φόβον, καὶ κατάνυξιν θείαν καὶ βίον κρείττονα, ἡμᾶς τοὺς ἐνοικοῦντας, ὑμῶν τῇ θείᾳ Μάνδρᾳ, ἐνισχύσατε Ἅγιοι, Κυπριανὲ ἱερέ, καὶ μάρτυς Ἰουστῖνα.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Θεοτοκίον.

Ἐξ ἀχράντου γαστρός Σου, ὁ ὑπέρθεος Λόγος σάρκα προσείληφε, καὶ ἔσωσε τὸν κόσμον, τῆς πάλαι ἁμαρτίας, Θεοτόκε δι᾽ ἔλεος· ὅθεν σωθῆναι κἀμέ, Αὐτὸν ἀεὶ δυσώπει.

ὨΙδὴ η΄.

Τὸν Βασιλέα.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ῥυσθεὶς ὁ νέος, τῆς τοῦ ἐχθροῦ μαγγανείας, ὡς προσέφυγεν ὑμῶν τῇ προστασίᾳ, πιστῶς τὴν θείαν χάριν, ὑμῶν ἀνακηρύττει.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Αἶνον προσᾴδει, ὡς δι᾽ ὑμῶν ἰαθεῖσα, ὑμῖν Ἅγιοι γυνὴ ἄλλη ἐν πίστει· πᾶσι γὰρ δωρεῖσθε, ἰάματα ποικίλα.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα τὸν Κύριον.

Σωματικῶν με, καὶ ψυχικῶν νοσημάτων, θεραπεύσατε ὑμῶν τῇ ἀντιλήψει, Κυπριανὲ Πάτερ, ὁμοῦ σὺν Ἰουστίνῃ.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Θεοτοκίον.

Ἰσχύν μοι δίδου καταπατεῖν Θεοτόκε, τοῦ ἀλάστορος τὴν κατ᾽ ἐμοῦ μανίαν, ἵνα Σε δοξάζω, τὴν Κεχαριτωμένην.

ὨΙδὴ θ΄.

Κυρίως Θεοτόκον.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Μαγείας ἀκαθάρτου, ἀσινεῖς τηρεῖτε, καὶ μαγγανείας ἁπάσης μακάριοι, τοὺς ἀδιστάκτῳ καρδίᾳ ὑμῖν προσφεύγοντας.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Οἱ φύλακες καὶ ῥῦσται, ταύτης ὑμῶν τῆς ποίμνης, Κυπριανὲ Ἰουστῖνά τε ἔνδοξοι, αὐτὴν λυτροῦσθε σκανδάλων τοῦ πολεμήτορος.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ὑψίστου νῦν τῷ θρόνῳ, ἐν δόξῃ ἑστῶτες, Κυπριανὲ Ἰουστῖνά τε ἔνδοξοι, τὰς ἐκ καρδίας δεήσεις ἡμῶν προσδέξασθε.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Θεοτοκίον.

Ὑδάτων ἀπωλείας, ῥῦσαί με Παρθένε, καὶ πρὸς πηγὴν ἀπαθείας με ἴθυνον, ἵνα ζωῆς αἰωνίου γένωμαι μέτοχος.

* * *

Καὶ εὐθὺς τὰ παρόντα Μεγαλυνάρια·
Τῆς Θεοτόκου.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακά-

ριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν· τὴν ὄντως Θεοτόκον, Σὲ μεγαλύνομεν.

Τῶν Ἁγίων Μαρτύρων.

Χαίροις θεηγόρε Κυπριανέ, ὁ στερρῶς ἀθλήσας, καὶ αἰσχύνας τὸν δυσμενῆ· χαίροις καλλιμάρτυς, Κυρίου Ἰουστῖνα, ἀστέρες εὐσεβείας ἀειλαμπέστατοι.

Πλάνης καταπτύσας σκότος δεινόν, τῷ φωτὶ προσῆλθες, τῆς Τριάδος Κυπριανέ, διὰ τῆς καλλίστης, παρθένου Ἰουστίνης, μεθ᾽ ἧς καὶ τὸν ἀγῶνα, τὸν θεῖον ἤνυσας.

Χαίρετε προστάται τῶν εὐσεβῶν, Κυπριανὲ Πάτερ, Ἰουστῖνά τε θαυ-

μαστή· χαίρετε μεσῖται, ἡμῶν πρὸς τὸν Δεσπότην, καὶ ταύτης τῆς ἁγίας Μονῆς οἱ ἔφοροι.

Φρίττει τῶν δαιμόνων ἅπας ἐσμός, Κυπριανὲ μάκαρ, Ἰουστῖνά τε εὐκλεής, ὑμῖν τὴν δοθεῖσαν, παρὰ Κυρίου χάριν, καὶ πόῤῥω ἐξ ἀνθρώπων, ἀποδιώκονται.

Ῥύσασθε μαγείας τῆς χαλεπῆς, Κυπριανὲ Πάτερ, Ἰουστῖνα ἡ εὐκλεής, τοὺς τῇ μοχθηρίᾳ αὐτῆς συνεχομένους, ψυχῶν τε καὶ σωμάτων, πάθη ἰώμενοι.

Ταύτην τὴν ἁγίαν ὑμῶν Μονήν, σκέπετε ἀπαύστως, ἀπὸ πάσης ἐπιβουλῆς, Κυπριανὲ Πάτερ, ὁμοῦ σὺν Ἰουστίνῃ, αὐτὴν ἐπευλογοῦντες, ὑμῶν τῇ χάριτι.

Τῶν Ἁγίων Πάντων.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

* * *

Ἀμήν. Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (γ΄)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν· Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν· Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός Σου.

Κύριε, ἐλέησον. (γ΄)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά Σου· ἐλθέτω ἡ βασιλεία Σου· γενηθήτω τὸ θέλημά Σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν!

* * *

Καὶ ψάλλονται τὰ ἑξῆς·

Ἦχος γ΄. Θείας πίστεως.

Θείου Πνεύματος, τῇ χορηγίᾳ, φῶς προσέλαβες, θεογνωσίας, Κυπριανὲ καταισχύνας τὸν δράκοντα· καὶ μαρ-

τυρίου τὸν δρόμον διήνυσας, σὺν Ἰουστίνῃ ὁμοῦ τῇ θεόφρονι· μεθ᾽ ἧς πρέσβευε, Τριάδι τῇ πανοικτίρμονι, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Πάντας τοὺς προσπίπτοντας πιστῶς, ὑμῶν τῇ ἁγίᾳ εἰκόνι, Κυπριανὲ ἱερέ, Ἰουστῖνα πάνσεμνε, νύμφη Χριστοῦ τοῦ Θεοῦ, πάσης βλάβης λυτρώσασθαι, καὶ τῶν σοφισμάτων, τοῦ δολίου δράκοντος, καὶ μαγειῶν χαλεπῶν, πᾶσι δὲ αἰτεῖσθαι θεόθεν, ἄλυπον ζωὴν ἐν εἰρήνῃ, καὶ πταισμάτων ἄφεσιν δεόμεθα.

Ἦχος β΄.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ· φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν!



✠

Τῷ δὲ ἐν Τριάδι
παναγίῳ καὶ μόνῳ ἀληθινῷ Θεῷ ἡμῶν
δόξα, τιμή, προσκύνησις
καὶ εὐχαριστία!

